'Ωδὴ η'· Ἑπταπλασίως.

Διὰ παντὸς μελέτημα
καὶ χαρὰν καὶ ἐντρύφημα
τὰ τῶν θεοπνεύστων διδασκάλων λόγια
ὡς πνεύματος ῥήματα
τοῦ παναγίου ἔχων, λαμπρὸς
ὑπαγορευτὴς ἐκδικητὴς μετὰ ζήλου
ἐνθέου παρρησίᾳ
ἀπεφάνης· διό σε
σὺν τούτοις εὐφημοῦμεν
δικαίως, θεηγόρε.
Ἐκ τοῦ πατρὸς γεγέννηται
ὁ υἱὸς μόνου πάντως γε·
ἐκ τοῦ πατρὸς μόνου πνεῦμα τὸ πανάγιον
φρικτῶς ἐκπεπόρευται,
ὅπερ καλεῖται καὶ τοῦ υἱοῦ,
ἅτε δι'αὐτοῦ φανερωθὲν καὶ τῇ κτίσει
μεταδοθὲν ἐνθέως,
ἀλλ'ἐκ τούτου οὐκ ἔχον
τὴν ὕπαρξιν, διδάσκει
ὁ Σύρος θεολόγος.
Λόγους καὶ βίους, ὅσιε,
τῶν ἁγίων καὶ θαύματα
καὶ τῶν θεολόγων διδασκάλων τρόπαια
καὶ τὰ κατορθώματα
στρέφων ὅλος ἀεὶ κατὰ νοῦν
τῶν τριῶν μεγάλων ἐξαιρέτων φωστήρων,
ἐξέλαμψας ὡς οὗτοι
πρὶν ἐν βίῳ καὶ τέλος
ἐν τῇ θεολογίᾳ
ὑπὲρ τοῦ παρακλήτου.
Φῶς ἐν λυχνίᾳ τέθεισαι
πᾶσι λάμπων τοῖς πέρασι,
καὶ καλὸν ἅλας ἀληθινῆς φρονήσεως
καὶ τῆς θείας γνώσεως,
τοὺς μωρανθέντας πάλαι δεινῶς
τῇ καινοτομίᾳ τῶν ἀπταίστων δογμάτων
τῷ γνωστικῷ σου λόγῳ

---

21. Σύρος, scilicet Ioan. Damasc. Vid. Migne, Patr. Gr., t. 94, col. 832 B.